ΠΡΑΚΤΙΚΑ ΤΗΣ ΑΚΑΔΗΜΙΑΣ ΑΘΗΝΩΝ

## ΣΥΝΕΔΡΙΑ ΤΗΣ 1ΗΣ ΙΟΥΝΙΟΥ 1944

### ΠΡΟΕΔΡΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΑΜΑΝΤΟΥ

### ΠΡΑΞΕΙΣ ΚΑΙ ΑΠΟΦΑΣΕΙΣ ΤΗΣ ΑΚΑΔΗΜΙΑΣ

### ΠΑΡΟΥΣΙΑΣΙΣ ΒΙΒΛΙΩΝ

1. Ὁ πρόεδρος κ. **Κ. Ἄμαντος** παρουσιάζει τὸ ἐσχάτως ἐκδοθὲν σύγγραμμα τοῦ καθηγητοῦ τοῦ ἐν Βελιγραδίῳ Πανεπιστημίου κ. Γ. Ὀστρογκόρσκυ, «Ἱστορία τοῦ Βυζαντινοῦ κράτους» καὶ ὁμιλεῖ περὶ τῆς ἀξίας τοῦ ἔργου τούτου.

2. Ὁ ἀκαδημαϊκὸς κ. Γ. **Ἰωακείμογλου** παρουσιάζει τὴν πρό τινος ἐκδοθεῖσαν μελέτην τοῦ κ. Σ. Καλογερέα, «Πολιτικὴ διατροφῆς καὶ παραγωγῆς» καὶ ἐπαινεῖ τὸν συγγραφέα διὰ τὴν ἐργασίαν του.

### ΑΝΑΚΟΙΝΩΣΕΙΣ ΑΚΑΔΗΜΑΪΚΟΥ

## MEDICAL MANUSCRIPTS.— The medical work of Romanos according to the Vatican greek codex 280 *, by ***Aristotle P. Kousis.***

At the 2nd International Congress of Byzantine studies held in 1937 at Belgrad I communicated a contribution on "l' étude de la médicine des xenons", based on two unpublished works. One under the heading : «Θεραπευτικαὶ καὶ ἰατρεῖαι συντεθεῖσαι ὑπὸ διαφόρων ἀνδρῶν κατὰ τὴν ἐκτεθεῖσαν ἀκολουθίαν τοῦ ξενῶνος» is found in the codices of Paris, Munich and Vienna libraries, where I examined it. The other, a work by Romanos «Περὶ σημείων ὀξέων καὶ χρονίων παθῶν» is contained in the med. codex No 48 of the Vienna library.

Continuing in the meantime my investigations on the unpublished medical works of the ancient greek physicians, and especially from the

* ***Ἀρ. Π. Κούζη,*** Τὸ ἰατρικὸν ἔργον τοῦ Ρωμανοῦ κατὰ τὸν Βατικανὸν ἑλλ. κώδικα 280.

point of view of the byzantine Xenons, I examined another copy of the first above mentioned work, which I encountered in a codex of the Iberian Monastery on Mount Athos and which I intend to speak about on some other occasion. I also studied at the Vatican Library a copy of the second work by Romanos, which I am to-day communicating to the Academy of Athens.

This work is contained in the greek codex 280 of XVth century of this Library and bears the same title as that of the Library of Vienna: Ρωμανοῦ καὶ κουβουκλησίου τῆς τοῦ Θεοῦ ἁγίας ἐκκλησίας καὶ πρωτομηνυτοῦ τοῦ βασιλικοῦ ξενῶνος τοῦ Μυρελαίου καὶ τῆς Περιδόξου, but the text is different somewhere. It begins on page 162v of the codex and ends on page 169, where follow some chapters taken from Aëtios[1] and dealing with some diverse gynaecological questions, that I left out. In my first communications I have added and the following the work therapeutical chapters.

Both this writing of Romanos found in the Vatican Library as well as that of Vienna are probably only part of a entire work, the rest either not having been published at all or lost.

This work, as I have pointed out in my first communication[1], is based on the teaching of the ancient greek physicians, to whose theories Romanos added his experiences as chief-physician in the xenon, according to his own remarks («ὡς ἐγὼ ἑώρακα») in the introduction of his work.

About the author we continue infortunately know nothing more, than he was a dignitary of the orthodox church and head physician in the above mentioned xenon.

The entire text of the work of Romanos runs as follows:

***Ρωμανοῦ καὶ κουβουκλησίου τῆς τοῦ Θεοῦ ἁγίας Ἐκκλησίας καὶ πρωτομηνυτοῦ[1] τοῦ βασιλικοῦ ξενῶνος τοῦ Μυρελαίου καὶ τῆς Περιδόξου.***

Οὐ παραιτητέον[2] ἡγησάμην, ὅπως οἱ περὶ τὰς ῥύμας καὶ [καὶ] τὰς παρεμβολὰς ἐπιπατοῦντες, διὰ τὸ μὴ δύνασθαι αὐτοὺς βαρέα φορτία βαστάζειν ἐν τῇ ὁδῷ, καὶ διὰ τοῦτο περὶ τῶν ὀξέων καὶ μακρῶν νοσημάτων διήγησίν τινα βραχεῖαν[3] καὶ συντόμως πεποίηκα καὶ <ὥς> ἐγγεγύμνασμαι τῇ διδασκαλίᾳ τῶν ἀρχαίων περὶ σημείων ὀξέων καὶ χρονίων παθῶν, μικροτάτην παραδέδωκα τὴν διδασκαλίαν[4]. Οὐκοῦν δέον ἡμῖν ἐστι, μέλλοντας διδάξαι ἐπικαλέσασθαι Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν ἀρωγὸν καὶ ὁδηγὸν γενέσθαι εἰς τὴν τοιαύτην διδασκαλίαν, ὅπως δυνηθῶμεν ἀνελλιπῆ καὶ ἀνυστέρητον ταύτην ἀποτελέσαι. Χρὴ οὖν ἡμᾶς πρότερον ὁρίσασθαι περὶ τῆς διαγνώσεως καὶ θεραπείας ἔτι. Τὶ ἐστι πυρετός.

f. 163. <ὅτι> ὁ μὲν προτρεπτικὸς[5] τῶν ὑγιεινῶν παραγγελμάτων ἀναγκαῖός τε καὶ χρήσιμος πρὸς ὑγείας συντήρησιν ὑπάρχει, ἤδη προγέγραπται. Μεμάθηκας οὖν ἐν αὐτῷ, ποίῳ καὶ τίνι τρόπῳ χρώμενος καὶ σὺ αὐτὸς ὡς οἷόν τε ὑγιαίνεις[6] ἂν μάλιστα καὶ τῷ ὑπὸ σοῦ ἐπιτελουμένῳ τὴν προσήκουσαν ὑγείαν[7] διαφυλάξῃς. Ἐπεὶ δὲ λαθόντας ἡμᾶς αὐτοὺς πολ-

---

[1] Cod. Vatic. 280, p. 169 f.

[1] Byz.-neugr. Jahrb. 1937, p. 77 (Summarily).

---

[1] *πρωτομηνίτου.* [2] *παραιτιτέον.* [3] *βραχίαν.* [4] *διδασκαλείαν.* [5] *αἱρεπτικὸς.* [6] *ὑγιαίνησαν.* [7] *ὑγίαν.*

λάκις ἀμελέστερον ἁπτομένους διαίτης [1] ἢ κατά τινων πράξεων περιστάσεις ἐν τῇ βίᾳ τοῦ περιέχοντος ἡμᾶς ἀέρος, βλαβέντος ποτέ, ἐγχωρεῖ ἄλλως νοσώδεσι κατασκευαῖς [2] ὀξέα καὶ χρόνια πάθη, ἄμεινον καὶ περὶ νοσημάτων διαλαβεῖν. Ἀπὸ δὲ τῶν καθόλου, τῶν πυρετῶν δεῖ [3] νοσημάτων ἄρξασθαι σημειώσεως, ὅτι τε μᾶλλον ἐπιπολάζει ταῦτα, κοινὰ πάσῃ ἡλικίᾳ ὑπάρχοντα· καὶ ἔστιν οὐκ ἀκίνδυνα, ταραχὴν καὶ θόρυβον αἰφνίδιον ἐπιφέροντα, τὰ πάθη τῶν νοσημάτων (sic).



The beginning of Romanos codex (f. 162ᵛ).

*Ὅτι χρὴ τὸν ἰατρὸν ἐπιστήμονα εἶναι.* Διότι χρὴ γεγυμνασμένον κατὰ τὸ προγνωστικὸν Ἱπποκράτους [4] καὶ τὰ ἄλλα τῆς ἰατρικῆς εἶναι, ἐπίστασθαί τε τὰ τῆς φύσεως ἔργα. Φύσεις [5] γὰρ ζῴων (sic) οἱ ἰατροί, συνεργοὶ δὲ τῇ φύσει πρὸς σωτηρίαν ἀγωνιζόμενοι [6]. Οὕτω γὰρ ἡ φύσις σύμμαχον λαβοῦσα τὸν ἰατρὸν τὰ δέοντα ποιοῦντα, αὐτὸν δὲ τὸν ἄρρωστον πειθήνιον ὄντα καὶ μηδὲν ἐν τῇ διαίτῃ ἁμαρτάνοντα, περιγένοιτο [7] ἂν τῆς νόσου· συνεργοὺς δὲ εἶναι χρὴ [8] καὶ τοὺς ὑπηρετοῦντας ἔξωθεν πρὸς τὸ μηδὲν ὑπεναντίον γενέσθαι τοῖς καλῶς πραττομένοις.

---

[1] *διαίτις*. [2] *κατασκεύες*. [3] *δή*. [4] *Ἱπποκράτου*. [5] *φύσις*. [6] *ἀγωνιζώμενοι*. [7] *περιγένητο*. [8] *χρῇ*.

f. 163v. *ὅτι ἄνευ τοῦ προγνῶναι τὴν νόσον | οὐχ οἷόν τε καλῶς θεραπεύειν.* Πρόκειται ἡμῖν σημειωτέον ἐνσυστήσασθαι λόγον πρῶτον, ἄνευ γὰρ τοῦ προγιγνώσκειν εἰς ὅ,τι τελευτήσει τὸ νόσημα, οὐχ οἷόν τε καλῶς εὐπορῆσαι τοῦ τρόπου τῆς διαίτης καὶ μάλιστα ἐπὶ τῶν ὀξέων νοσημάτων καὶ κίνδυνον ὀξὺν ἐπιφερόντων [1].



The end of Romanos codex (f. 169r)

***Τίνα εἰσὶν ἀγαθὰ σημεῖα.*** Εὔσημον πρόσωπον· δυνήσει γὰρ κατὰ τοῦ προσώπου μόνου βεβαίαν καὶ πλείστην πρόγνωσιν λαβεῖν, πρὶν ἅψεσθαι τοῦ νοσοῦντος· λέγω δὴ ἐκ τῶν ἐν αὐτῷ αἰσθήσεων ὄψεως, ἀκοῆς, ὀσφρήσεως, πρὸς τούτοις δὲ καὶ ἐκ τῆς ἀναπνοῆς οὐ χωρὶς ἐᾶν, οὐχ οἷόν τε δηλούσης ἡμῖν ὅπως ἡ καρδία πρόκειται. πάρεστι δ' ἐν τῷ προσώπῳ καὶ τὸ διαλεκτικὸν ὄργανον τῆς γλώττης, ἐμφαῖνον ἡμῖν τήν τε ῥώμην καὶ τὴν ἀρρωστίαν τοῦ λογιστικοῦ μορίου τῆς ψυχῆς. Ἀγαθὸν γὰρ καὶ ἡ εὐσχήμων κατάκλισις, ὡς μάλιστα

---

1 *ἐπιφέροντα.*

εἴθιστο καὶ ὑγιαίνοντι τρέπεσθαι ῥᾳδίως. Εὔφορόν τε καὶ τὸ σῶμα πᾶν ὁμαλῶς καὶ ἠπίως θερμὸν εἶναι καὶ ἄδιψον ὡς οἷόν τε καὶ τὸ ἐρρῶσθαι τὴν διάνοιαν καὶ εὖ ἔχειν πρὸς τὰς προφοράς· ἀγαθὸν καὶ ἡ εὔπνοια καὶ ἡ εὐταξία τῶν σφυγμῶν. ἐκ τούτων δὲ καὶ τῶν λεχθησομένων γνωσόμεθα καὶ τὴν ῥώμην τε καὶ ἀρρωστίαν τῶν τριῶν ἐνεργειῶν τῆς ψυχῆς· τὸ γὰρ ἐρρῶσθαι καὶ τὴν διάνοιαν καὶ τὸ μὴ καταρρέειν ἐπὶ πόδας, δηλοῖ τὸν ἐγκέφαλον κατὰ πάντα ἐρρῶσθαι. Τὸ δὲ λαθεῖν τοῦ προσώπου καὶ εὔπνοια καὶ ἡ εὐσφυξία, δηλοῖ τὴν καρδίαν ἐρρῶσθαι· ἔστι δ' ἂν ὅτε γένηται πρόσωπον μετὰ δυσπνοίας, ὡς ἐπὶ τῶν περιπνευμονικῶν, τὸ δὲ ἄδιψον εἶναι καὶ εὖ ἔχειν πρὸς τὰς προφορὰς τὴν φυσικὴν δύναμιν ὄντι (sic)
f. 164 ἠπατικῶς τὸ σῶμα ἐρρῶσθαι δηλοῖ· ἀγαθὸν καὶ ὕπνοι χρηστοὶ καὶ ἱδρῶτες δι' ὅλου τοῦ σώματος, εὔκρατοί τε καὶ ὁμαλοὶ καὶ σύμμετροι ἐν τῷ δέοντι καιρῷ ἐπιφαινόμενοι· ὑποχόνδριον δὲ ἀνώδυνον τε καὶ εὐβαθὲς καὶ πρὸς τούτοις ἀντιδιαχώρησις κοιλίας καὶ οὔρων καὶ πτυσμάτων ἀπαρεμποδίστους[1] τε εἶναι· καὶ χρηστά τινα πέμψεως φέρειν σημεῖα.

***Τίνα ἐστὶ φαῦλα σημεῖα.*** Προσώπου παντὸς καὶ κροτάφου σύμπτωσις, ὀφθαλμοὶ πεπηγότες καὶ κοῖλοι, δάκρυον ἀκούσιον, καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν κατὰ τὸν ὕπνον φαινόμενα, βυθισμένως οὕτως καθεύδειν, καὶ τὰ καταρροῦντα ἐπὶ πόδας ἄσημα· κατάκλισις, ἐπὶ γαστέρα κεῖσθαι, ὅ μὴ σύνηθες· ὀδόντων τρόμος καὶ τὸ σῶμα πᾶν ἀνωμάλως διακεῖσθαι, θερμαίνεσθαι καὶ ψύχεσθαι, δυσφορώτεροι τε εἶναι καὶ ἀφόρητον καῦμα τῶν ἐντός, τῶν ἔξω ψυχρῶν τυγχανόντων. ἔκστασις διανοίας καὶ οἷον παρακοπή τις ἢ ἀναισθησία καὶ καταφορά· ἀποτροπὴ πάσης ὀρέξεως, ψῦχος ἐπὶ φλεγμονῇ τῶν περὶ τὸν θώρακα καὶ τὰς πλευρὰς γενόμενον καὶ ὅλως δυσπνοοῦντα εἶναι καὶ πυκνὸν ἀναπνεῖν καὶ τὸ ἔξωθεν εἰσπνέειν μέγα, ἔσω δὲ μικρὸν ἐκπνέοντα. ἤδη γὰρ τοῦτο μέλλουσαν νέκρωσιν δηλοῖ τῆς καρδίας, ὥσπερ καὶ τὸ ἄσφυκτον εἶναι ἢ κακόσφυκτον· ἄπνοια γάρ, φησὶν Ἱπποκράτης, κάρτα μεγάλην δύναμιν ἔχει· χρὴ νομίζειν εἰς ὅριον ἐν πᾶσι τοῖς ὀξέσι νοσήμασι, ὁκόσα σὺν πυρετῷ καὶ ἐν τεσσαράκοντα ἡμέρησι κρίνεται· κακὸν δὲ καὶ ἀγρυπνία ἡ συνεδρεύουσα, ἢ καὶ γενομένη [μέν]· ὕπνοι ταραχώδεις, ἱδρῶτες ψυχροὶ καὶ ἀνώμαλοι καὶ μὴ περὶ πᾶν τὸ σῶμα. κατάψυ-
f. 164b. ξιν γὰρ ἰσχυρὰν καὶ ταῦτα | δηλοῖ, καὶ τῷ οὐκ ἐν δέοντι καιρῷ ἐπιφαίνεσθαι τοὺς ἱδρῶτας καὶ ἐποχῇ τῶν κατὰ κοιλίαν καὶ μάλιστα κύστιν καὶ τῶν ἄλλων διακρίσεων μή τινος ὀλέθρου γνωρίσματα φέροιεν, καὶ μάλιστα οὖρα δυσώδη καὶ παχέα καὶ μέλανα. τὰ γὰρ τοιαῦτα, ἐπὶ ὀξέων νοσημάτων καὶ κακοήθων παντάπασι κινδύνων δηλωτικά· ὑποχονδρίων οὖν τάσεις καὶ κυρίων μορίων φλεγμοναὶ μέγισται, ἐγκεφάλου καὶ καρδίας καὶ πνεύμονος, ἥπατός τε καὶ γαστρὸς καὶ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος. τινὸς γὰρ τῶν τοιούτων νοσημάτων παρόντων, τὰ πάνυ φαῦλα σημεῖα ἐπιφαινόμενα, κινδυνώδη· χρὴ δὲ ἑκάστου τὴν δύναμιν ἐκμαθεῖν, ἓν γάρ ποτε σημεῖον ἰσχυρόν τε καὶ πιστόν, πλειόνων σημείων ἀπίστων καὶ ἀσθενῶν, οἶδε[2] κρατεῖν.

***Ποίαν δεῖ λέγειν πρώτην ἡμέραν τοῦ παντὸς νοσήματος.*** Ἀρχὴν[3] δὲ λέγειν τοῦ παντὸς νοσήματος ἐκεῖνον τὸν καιρὸν καὶ τὸν χρόνον, ἡνίκα πυρεττεῖν ἀρξάμενος ὁ ἄνθρωπος, οὔτε σαφῶς ὡς τὴν συνέχειαν αὐτῷ λέλυσται (sic) τοῦ παντὸς νοσήματος καὶ μηκέτι ἰσχύειν προσιέναι ἐπαρκῶς καὶ τὰ συνήθη πράττειν. ὁ μὲν γὰρ κεφαλαλγῶν ἢ δυσαρέστως βεβλημένος τῷ σώματι δύναται ὡς ἐπίπαν κατ' ἀρχὴν τὰ συνήθη πράττειν, μέχρις ἂν κατισχύσαν αὐτοῦ τὸ νόσημα καταβάλῃ[4] τὴν δύναμιν.

***Ὅτι ἡ ἀρχὴ τοῦ νοσήματος τριχῶς λέγεται.*** Ἀρχὴ δὲ λέγεται κυρίως ἡ ἀκμὴ[5] καὶ ἀκαριαία τῆς πρώτης τοῦ νοσήματος εἰσβολὴ[6], ἐν ᾗ κινηθεὶς ὁ ἄνθρωπος κατεκλίθη. ἀρχὴ δὲ λέγεται, καὶ ἣν κατὰ πλάτος ὀνομάζουσιν, ἡ μέχρι τῆς τρίτης ἡμέρας ἐπεκτεινομένη· ἀρχὴ δὲ λέγεται ἡ κυρία, ἀναγκαιοτάτη τυγχάνουσα καὶ ἣν ὡς μέρος ὅλου τοῦ νοσήματος
f. 165 | ἀρχὴν ὀνομάζομεν, ἥτις γνωρίζεται οὐχ ἡμερῶν ἀριθμῷ, ἀλλὰ ποιοτήτων τῶν παροξυσμῶν καὶ τῶν συνεδρευόντων νοσημάτων ἐπιεικείᾳ, ἔν τε τῇ ἀναβάσει, αὐξήσει τῶν νοση-

---

[1] *ἀπαραμποδίστους.* [2] *οἱ δὲν.* [3] *ἀρχεῖν.* [4] *καταβάλειν.* [5] *ἀκμῆς.* [6] *εἰσβολῆς.*

μάτων καὶ τῶν συμπτωμάτων γίνεται τά τε συμπτώματα δεινότερα. ἀρχὴ οὖν λέγεται τοῦ παντὸς νοσήματος ἄχρις ἀναφανῇ χρηστὰ καὶ σαφῆ πέψεως σημεῖα. εἰ μὲν οὖν ὀλιγοχρόνιος ἡ ἀρχὴ γένοιτο, ἐν τάχει λυθήσεται τὸ νόσημα δηλοῖ, ὡς Ἱπποκράτης δοκεῖ. τὸ δὲ οἷον ἐν πλευριτικοῖσοι πτύελον αὐτίκα ἐπιφαίνεται, ἀρχομένου μὲν βραχύ, ἣν δὲ ὕστερον ἐπιφαίνεται, μηκύνεται ἡ νόσος δηλονότι. ὅθεν καὶ καθ' ἥν τινα ἡμέραν ἐπιφανεῖ ἐν τοῖς ἐκκρινομένοις περιττώμασι σαφῆ πέψεως γνωρίσματα, λέγομεν ὅτι πέπαυσθαι τὴν ἀρχὴν τοῦ νοσήματος, ἄρχεσθαι δὲ τὴν ἐπίδοσιν. πέψεως γὰρ σημεῖα οὐκ ἔστιν, ὅτε κακὰ ἐπιφαίνεται.

***Τί ἐστι πυρετός.*** Πυρετὸς τοίνυν ἐστὶ θερμότης παρὰ φύσιν καρδίας καὶ ἀρτηριῶν, βλάπτουσα[1] τὸν ζωτικὸν τόνον, ἀναφερομένη ἐκ τοῦ βάθους, δριμεῖα καὶ δακνώδης προσπίπτουσα τῇ ἁφῇ, μάλιστα κατὰ τὸν θώρακα καὶ ἔνθα ἀρτηρίαι μεγάλαι εἰσὶ τεταγμέναι· πρὸς δὲ τῇ τοιαύτῃ θερμασίᾳ ἀνωμαλία τις καὶ ἀταξία συνεδρεύει καὶ προσγίνεται κατὰ τὸ εἶδος τοῦ πυρετοῦ τοῖς σφυγμοῖς.

***Τί ἐστι παροξυσμός.*** Παροξυσμὸς ἐστι κίνημα νοσήματος μερικὸν ἐπὶ τὸ χεῖρον ἀπὸ ἀνέσεως. μερικὸν δὲ κίνημα ἄρχεται πρὸς διάκρισιν τῆς καθόλου τοῦ νοσήματος ἐπιδόσεως.

***Τί ἐστιν ἄνεσις.*** Τοῦ μερικοῦ παροξυσμοῦ πρόσκαιρός τις παῦλα τῶν συνεδρευόντων
f. 165v τῷ νοσήματι συμπτωμάτων· ὅτι ἡ ἄνεσις διττὴ λέγεται, | συμπεριλαμβάνεται γὰρ καὶ
τὸ διάλειμμα τῆς δι' ἀνέσεως· ἡ μὲν εἰλικρινὴς ἐστιν καὶ καθαρά, ἡ δὲ δυσκρινὴς καὶ οὐ καθαρά· ἡ μὲν οὖν εἰλικρινὴς ἄνεσις ἐπιγινώσκεται ἐκ τῆς ἠρεμίας τῶν συνεδρευόντων τῷ νοσήματι συμπτωμάτων καὶ διαλείμματος ὡς ἐπὶ τῶν κατὰ περίοδόν τινα παροξυνομένων, οἷον τριταίων, τεταρταίων, καθημερινῶν, κεφαλαίας, ἐπιληψίας, ποδάγρας, καὶ τῶν παραπλησίων. ἡ δὲ δύσκρινος ἄνεσις καὶ οὐ καθαρὰ λαμβάνεται ἐκ τῶν συμπτωμάτων ὑφέσεως, ὡς ἐπὶ τῶν συνεχῶν μάλιστα πυρετῶν γίνεται· ἐπὶ δὲ τούτων πρὶν παντελοῦς λύσεως τοῦ νοσήματος, οὐκ ἄν ποτε καθαρὰ γένοιτο ἄνεσις, ἐπικαταλαμβάνει γὰρ τὴν παρακμὴν τοῦ προτέρου ἕτερος παροξυσμός.

***Τίς ἀρχὴ πυρεκτικῆς ἐπισημασίας.*** Ἀρχὴ γοῦν τῶν παροξυσμῶν ὡς ἐπίπαν, συστολὴ τῶν ἀκραίων μορίων πάντων καὶ μάλιστα τῆς ῥινός, κατάψυξις ὅλου τοῦ σώματος· βηχίον ἔστω μικρὸν ἐρεθίζον συνεισβάλλει, χάσμαι[2] τε καὶ σκορδινισμὸς καὶ ναυτία καὶ ἔμετος, λιποθυμία ἢ ἄλγημα κεφαλῆς, ἢ ἄλλου τινὸς μορίου, εἰς ὕπνον τὴν καταφορὰν ποιούμενοι. σφυγμὸς πρὸς τούτοις μικρός τε καὶ συνεσταλμένος, βραδέως ἀνακάμπτων[3] καὶ τῶν εἰωθότων συνεδρεύειν συμπτωμάτων τῷ παρόντι νοσήματι ἐρεθισμός.

***Σημασία ἐπιδόσεως μερικοῦ παροξυσμοῦ.*** Κατὰ δὲ τὴν ἐπίδοσιν τοῦ μερικοῦ παροξυσμοῦ, τῶν μὲν ἀλλήλων συμπτωμάτων αὔξησίς τε καὶ ἐνώτισις ἐπιγίνεται, τὰ δὲ τῆς συστο-
f. 166. λῆς τε καὶ ἀναψύξεως ἀπολήγει· καὶ σφυγμὸς | ἀνώμαλος, ἀνάκαμπτος καὶ τὸ σῶμα
θερμαίνεται μέν, οὐκ ἀκριβῶς δέ.

***Τοῦ μερικοῦ παροξυσμοῦ.*** Κατὰ δὲ τὴν ἀκμὴν τοῦ μερικοῦ παροξυσμοῦ, ἡ μὲν θερμασία ὁμαλῶς διαχεῖται καὶ κατακερματίζεται καθόλου τὸ σῶμα, οἵ τε σφυγμοὶ τὸ πᾶν τῆς αὐξήσεως ἀπολαμβάνοντες, ἀνάλογοι τῆς ὑποκειμένης ὕλης ἰσχύουσι καὶ τὰ ἄλλα τοῦ παροξυσμοῦ συμπτώματα. τότε δὴ καιρὸς πότον διδόναι τῷ κάμνοντι.

***Παρακμῆς τοῦ μερικοῦ παροξυσμοῦ σημεῖα.*** Παρακμὴ δ' ἐστιν ἀρχομένου μειοῦσθαί τινος ἢ πάντων τῶν σημειωθέντων συμπτωμάτων καὶ τῶν σφυγμῶν, ποσῶς εἰς εὐταξίαν ἐρχομένων. ἔσθ' ὅτε δὲ καὶ νοτίδες ἐπιγίνονται καὶ ἡ θερμοκρασία δηλονότι μαραίνεται, ποτὲ δὲ καὶ ὕπνοι χρηστοὶ συντρέχουσι, εἰ μέλλει κατὰ χρόνον ἔσεσθαι τὴν ἐπισημασίαν, ὡς ἐν ταῖς καθαραῖς ἀνέσεσιν ὀφείλει γίνεσθαι. Εἰώθει γὰρ ἐνίοτε ἐπί τινων νοσημάτων παροξυσμὸς ἕτερος τὴν παραμονὴν τοῦ προτέρου καταλαμβάνειν.

***Τίς ἡ ἀρχὴ τοῦ ὅλου νοσήματος.*** Ἤδη προείρηται ὡς ἀρχὴν τοῦ παντὸς νοσήματος

---

[1] *βάπτουσα.* [2] *χάσμοι.* [3] *ἀναβάπτων.*

ἐκεῖνον τὸν καιρὸν λέγομεν, ἡνίκα ἡττηθεῖσα τῇ βίᾳ τοῦ νοσήματος ἡ δύναμις τοῦ ἀνθρώπου, ἀρχὴ τῆς κατακλίσεως γέγονεν.

*Τίς δὲ ἐπίδοσις, καὶ τὶ ἀνάβασις τοῦ ὅλου νοσήματος.* Ἡ δὲ ἐπίδοσις τοῦ παντὸς νοσήματος, ὅταν οἱ παροξυσμοὶ προλαμβάνουσι καὶ μακρότεροι καὶ κακοηθέστεροι καὶ μετὰ πλειόνων καὶ βαρυτέρων συμπτωμάτων γίνονται.

*Ἀκμῆς διάγνωσις ὅλου τοῦ νοσήματος.* Ἕκαστον τῶν παροξυσμῶν λαμβανόντων ὁμοίως f. 166ᵛ τε γινομένων ἐφεξῆς κατὰ πάντων τῶν συνεδρευόντων συμπτωμάτων καὶ μήτε ἀφαιρούντων μήτε προστιθέντων, τότε ἀκμάζει λέγω τὸ νόσημα· ἡ γὰρ ἀκμὴ ἐπὶ τὸ σφοδρότερον μέρος ὅλης τῆς νόσου, ὅτε ἀγαθαὶ κρίσεις [1] γίνεσθαι ὀφείλουσιν [2].

*Περὶ <παρ>ακμῆς διαγνώσεως ὅλου τοῦ νοσήματος.* Ἐπὶ δὲ τῆς παρακμῆς τοῦ ὅλου νοσήματος τὰ ἐναντία τῆς ἐπιδόσεως [3] γίνεται· ὑστερήσας γὰρ κατὰ τὴν εἰσβολὴν τῆς συνήθους ὥρας ὁ παροξυσμὸς χρόνον ἐλάχιστον κατέχει, τά τε συμπτώματα ἐπιεικέστερα καὶ ἁπλούστερα γίνονται, ἢ οὐδόλως ἐπιφαίνεται [4]· εὐφορία τε καὶ ἄνεσις τούτοις ἐπακολουθεῖ. ὅτε ἡ παρακμὴ ἐπὶ τοῦ παντὸς νοσήματος ἐπὶ τῶν ἀθρόων γίνεται κρίσεων, λανθάνει τὴν αἴσθησιν, ὅσα ἀθρόως κατὰ τὴν ἀκμὴν γίνεται νοσήματα καὶ τελείαν ἀποδέχεται λύσιν, δυσθήρατον ἴσχει [5] τὴν παρακμήν, ὡς μηδὲν κατάδηλον αἰσθήσει γίνεται, ἀλλ' οὐδὲ χρήσιμόν ἐστιν ἑκάστῳ, ἀρκεῖ γὰρ γινώσκειν ὅτι λέλυται πιστῶς καὶ ἀσφαλῶς καὶ τελείως τὸ νόσημα. χρὴ [6] γινώσκειν [7] ὅτι ὁ μέλλων σώζεσθαι διεξέρχεται τοὺς τέσσαρας καιροὺς [8] ὅλους τῆς νόσου, ἐὰν μὲν οὖν ἀκίνδυνον ᾖ τὸ νόσημα ὀξέως τε κινεῖται καὶ πρὸς τούτοις ἀγαθὰ καὶ χρηστὰ σημεῖα παρὰ τῷ κάμνοντι διεξέρχεται ταχέως τοὺς τέσσαρας καιροὺς [8] ὅλου τοῦ νοσήματος καὶ δῆλον ὅτι σωθήσεται· εἰ δὲ τὰ ἐναντία τούτων παρεῖ πρὸ τῆς ἀκμῆς μάλιστα, τεθνήξεται.

*Πότερον [9], βράδιον ἢ τάχιον κρίνεται τὸ νόσημα.* Πότερον, βράδιον ἢ τάχιον κριθήσεται τὸ νόσημα ἐκ τοῦ μεγέθους τοῦ νοσήματος καὶ τοῦ σφοδροῦ τῆς κινήσεως ἔσται δῆλον. f. 167ʳ | Τὰ μεγάλα νοσήματα ὀξέως κινεῖται, τὰ δὲ ὀξέως κινούμενα καὶ ταχέως κρίνεται. ὅπερ δεῖ προγιγνώσκειν, εἴτε καλὸν τὸ νόσημα, εἴτε κακόν. τὰ μεγάλα τῶν νοσημάτων, ὀξέως καὶ σφοδρῶς κινούμενα κρίνεται πάντα, ὅσα μικρὰ καὶ ἀργότερα καὶ βληχρὰ κινεῖται, ἢ χρόνιον [καὶ] κατὰ βραχὺ λύεται, μόνον χωρὶς κρίσεως· σπανίως δὲ ὀρρωδεῖ [10] τὰ τοιαῦτα. Τριταῖος, καίτοι διαλείπων, ὀξέως καὶ σφοδρῶς κινούμενος κρίνεται, ὁ δὲ τεταρταῖος, διότι χρόνιος, κατὰ βραχὺ λύεται καὶ οἱ ἀργοτέρως κινούμενοι πάντες, τὴν τοίνυν τοῦ νοσήματος ἐπισκέψασθαι φύσιν, εἴτε πικρόχολος, εἴτε φλεγματώδης, εἴτε μελαγχολικός, δεύτερον ἐπὶ τούτοις τὴν ὥραν τοῦ ἔτους καὶ τὴν τοῦ κάμνοντος ἡλικίαν καὶ τὴν κρᾶσιν καὶ τὸ ἐπιτήδευμα καὶ τὴν προγεγενημένην δίαιταν, οὐ μὴν ἀλλὰ καὶ τὴν ὥραν τοῦ ἔτους καὶ τὴν κατάστασιν τοῦ περιέχοντος ἀέρος ἡμᾶς. μετὰ ταῦτα δὲ σκοπεῖται ἡ περίοδος τοῦ παροξυσμοῦ, ὃς προάρχει, καὶ εἴτε διαλείπουσιν, εἴτε μή, καθάπερ ἐπὶ τῶν συνεχῶν ἐστιν ἰδεῖν. εἰ μὲν γὰρ ἐπιτείνει [11] καὶ προλαμβάνει ἀεὶ τῆς ἀναλόγου ὥρας καὶ σφοδρότεροι γίνοιντο καὶ διὰ τρίτον ἀπαντῶσιν, ἐν τάχει [12] κριθήσεσθαι δηλοῖ, εἰ δὲ ἀργῶς κινείτω, καὶ κατὰ ταύτην εἰσβάλλοιεν, ἐφ' ἑκάστην δὲ γίνοιντο τὴν ἡμέραν, χρονίζειν τὴν κρίσιν μένουσι· προσεπιβλέπειν δὲ καὶ τὸ πεπεμμένον τῶν περιττωμάτων [13], εἰ χρησταῖς [14] καὶ ἐν ἐπιδήλοις ἡμέραις γίνοιντο μετὰ δυνάμεως ἐρρωμένης· τὰ γὰρ χολώδη νοσήματα καὶ ὀξέως κινούμενα f. 167ᵛ μετὰ δυνάμεως ἐρρωμένης [15], εἰ εὐθὺς ἐξ ἀρχῆς ἀκίνδυνα δείξει τὰ σημεῖα | κατὰ τὴν πρώτην τετράδα τὴν κρίσιν ἐπαγγέλλεται, εἰ δὲ ἐν τετάρτῃ προσημαίνεται, τὴν ἑβδομάδα. οὔτε γὰρ εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων γινόμενοι, τεταρταῖοι παύονται ἢ πρόσθεν, ὥς φησὶν Ἱπποκράτης, οὔτε κακοηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι, τεταρταῖοι κλείνουσιν ἢ πρόσθεν.

---

[1] *κρίσις.* [2] *ὀφίλουσιν.* [3] *ἐπιδέσεως.* [4] *ἐπιφένεται ἴσχη.* [5] in marg. [6] in marg. [7] in marg. [8] *κερούς.* [9] *πρότερον.* [10] *ὀρωρεῖ.* [11] *ἐπιτοίνιντος.* [12] *τάχοι.* [13] *περιπιωμάτων.* [14] *χρηστοί.* [15] *ἐρωμένης.*

***Μελλούσης ἤδη γίνεσθαι κρίσεως.*** Μελλούσης ἤδη παρεῖναι τῆς κρίσεως προηγεῖται οὐ σμικρὰ ταραχὴ κατὰ τοῦ σώματος τοῦ κάμνοντος, μάλιστα δὲ κατὰ τὴν πρώτην τοῦ κριτικοῦ παροξυσμοῦ. Εἰ δὲ γὰρ μέλλει κρίσις γίνεσθαι τούτοις ἡ νὺξ δύσφορος, ἡ πρὸ τοῦ παροξυσμοῦ, φησὶν Ἱπποκράτης, καὶ γὰρ δυσφορίαι καὶ ἀγρυπνίαι καὶ σκοτοδίναι καὶ δυσαισθησίαι καὶ ἄλγη κατὰ κεφαλῆς καὶ τραχήλου καὶ στομάχου καὶ πολλῶν ἄλλων· ἐπί τινων δὲ ὤτων καὶ μαρμαρυγαὶ πρὸ τῶν ὀφθαλμῶν φαίνονται, καὶ δάκρυον ἀκούσιον ρεῖ· καὶ οὖρον ἴσχεται καὶ χεῖλος σείεται, ἢ ἄλλό τι μέρος τρομῶδες γίνεται, καὶ λήθη καὶ ἄγνοια τῶν παρόντων καὶ ῥῖγος σφοδρότερον ἐνίοτε ἐμπίπτει, καύσων μὴ γενόμενος καὶ τοὐπίπαν ὁ παροξυσμὸς προβάλλει τῆς συνήθους ὥρας καὶ καῦμα πολὺ καὶ δίψος ἀφόρητον ἐπέξει καὶ βοῶσι καὶ ἀναπηδῶσιν, ὥσπερ ἔμπληκτοι· καὶ τὸ τῆς κατακλίσεως σχῆμα φυλάττειν οὐ δύνανται καὶ φόβος ἐπικρέμαται τοῖς ὁρῶσιν. Ὁ δὲ ἰδιώτης ἰατρὸς θεωρεῖ τὴν ζάλην τῶν συμπτωμάτων, ταράσσεται, διὰ δὲ τῆς συμπαθείας τὴν ἀμάθειαν κρύπτει. Ἰατροῦ γὰρ ἐστι γενναίου τὸ μὴ ταράσσεσθαι, μηδὲ ἀγνοεῖν τὸ μέλλον ἀποβήσεσθαι, ἀλλ' ἐκ τῶν παρόντων f. 168ʳ προγινώσκειν, οὐ μόνον ὅτι | κρίσις μέλλει γίνεσθαι, ἀλλὰ καὶ ὁποία τις ἔσεσθαι μέλλει.

***Ὅπως δεῖ προγινώσκειν εἴτε ἀγαθὴ εἴτε φαύλη γενήσεται ἡ κρίσις.*** Τὴν δὲ ἀρίστην κρίσιν, ἣν καὶ μόνην ἁπλῶς κρίσιν ὀνομάζεσθαι ἔφημεν, οὐ στοχαστικὸς ἄν τις, ὅσπερ τὰς ἄλλας, ἀλλὰ βεβαίας προγινώσκει. πάντα δὲ ἐπὶ τῶν τοιούτων νοσημάτων εὐθὺς ἀκίνδυνα φαίνεται τὰ σημεῖα, ὥσπερ αὖ πάλιν ἐπὶ τῶν τεθνηξομένων, ὡς ἐπὶ τὸ πολὺ ἐξ ἀρχῆς φαίνεται πάντα φαῦλα. Πρῶτον μὲν οὖν ἁπάντων ἐπισκέπτεσθαι χρὴ τὴν δύναμιν τοῦ νοσοῦντος, ἔπειτα δὲ τοὺς πεπασμοὺς τῶν πάντων, οὔρων τε καὶ διαχωρημάτων· οὐδένα γὰρ ἐπὶ τῇ προδηλωθείσῃ χρηστῇ πέψει ἐθεασάμην ἀπολλύμενον κριθέντων τρίτον ἐν ἀκμῇ τοῦ νοσήματος καὶ τοῦ μερικοῦ παροξυσμοῦ· καὶ ἡ μὲν μαρτυροῦσαν (sic) ἀπαντῆσαι τὴν κρίσιν, ἐφεξῆς δὲ τὸ εἶδος τοῦ νοσήματος καὶ τὸ ἦθος· εἶδος μὲν λέγω, ὡς τριταῖος ἢ τεταρταῖος καὶ ἀμφημερινὸς ἤ τις ἕτερος, ἦθος δὲ ἢ μέτριον καὶ ἐπιεικὲς ἢ πονηρὸν καὶ κακὸν ἦθος. Μάλιστα δὲ τὸ ἦθος δηλώσει σοι, εἴτε σωθήσεται ἢ τεθνήξεται. Καὶ εἰ μὲν τοῦτο κατὰ θώρακα καὶ πνεύμονα πάθεσιν, προσέχειν μάλιστα χρὴ τοῖς πτύσμασι, μὴ μέντοι μηδὲ τοῖς οὔρων ἐπισκέψεως ἀμελεῖν, προσεπιβλέπειν δὲ καὶ τὰ διαχωρήματα. Ἐπὶ δὲ τῶν πυρετῶν, ἂν φλεγμονή τινος σπλάγχνου καὶ τοῖς οὔροις μάλιστα προσέχειν τὸν νοῦν. Ἐπὶ δὲ τῶν ὀλεθρίων νοσημάτων, πρῶτον μὲν μέγιστον σημεῖον τοῦ χωρὶς κρίσεως τεθνήξεσθαι ἡ ἀρρωστία ἐσχάτη τῆς δυνάμεως, οὐ γὰρ ἐπεγείρεται πρὸς διαχώρησιν· δεύτερον δέ, εἰ μηδὲν ὅλως εἴη μηδὲ f 168v τοῦ τελείου σημείου πεπεμμένον, ἀλλ' εἰ καὶ πρό|δηλον εἶεν ἐπὶ δήλῃ ἡμέρᾳ τὴν μέλλουσαν ἔσεσθαι κρίσιν, ἅμα τε πρόδηλος· πρὸς τούτοις δὲ ἐπιβλέπειν, εἰ μέγα εἴη καὶ κακόηθες νόσημα, μὴ μέντοι τάχιον κινεῖται καὶ μέγα, καὶ λέγω ἡμιτριταῖον, περιπνευμονίαν, καῦσον καὶ τὰ παραπλήσια. Φέρει γὰρ ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ὀφθῆναι πρῶτον ἐν τοῖς οὔροις νεφέλην μέλαιναν ἢ ἐναιώρημα ἢ ὑπόστασιν, εἶναι δὲ καὶ τὰ σύμπαντα σημεῖα ὀλέθρια. Τεθνήξεται μὲν ὁ τοιοῦτος ἄρρωστος, ἀλλὰ εἰ μὲν ὀξέως κινεῖται κατὰ τὴν ἕκτην εἰ δὲ βραδέως κατὰ τὴν ἑβδόμην.

***Ὅσαι ἀγαθαὶ κρίσεις καὶ ἡμέραι καὶ ὅσαι φαῦλαι.*** Ἑβδόμη ἀπὸ τῆς ἀρχῆς τοῦ νοσήματος ἡμέρα πάντων μάλιστα λύει ἀεὶ τελείως καὶ πιστῶς καὶ ἀγαθῶς καὶ ἀκινδύνως καὶ εὐσήμως, τῆς ἑβδόμης δὲ τὴν φύσιν ἡ τέτταρας καὶ δεκάτη μάλιστα μιμεῖται, πλησίον δὲ καὶ ἡ ἐνάτη ἐστὶν αὐτῇ καὶ ἑνδεκάτη καὶ ταύταις ἐγγὺς ἑπτακαιδεκάτη καὶ πέμπτη, μετὰ δὲ ταῦτα ἡ δ', καὶ μετὰ ταῦτα τρίτη τε καὶ εἰκοστή. Ἡ δὲ ἕκτη πολλάκις μὲν κρίνει, ἀλλὰ τὰς πλείους κρίσεις μοχθηρὰς ἢ καὶ θανατώδεις ἐπιφέρει. Εἰ δὲ μήτε ὡς τελεία, οὐδὲ πιστή, ὑποτροπιάζει γὰρ τὰ ἐναντία ἐκ τῆς (sic) κρινομένα νοσήματα καὶ λέλυσθαι δοκεῖ. Εἰ δὲ καὶ τελεία κρίσις, ὅπερ ἐστὶ σπάνιον ἐν τῇ κα' γένηται, μετὰ κινδυνωδῶν συμπτωμάτων καὶ χαλεπῶν γίνεται· τῆς μὲν οὖν πέμπτης καὶ τῆς ἕκτης τὴν φύσιν οὐδεμία ἄλλη ἐμιμήσατο τῶν ἡμερῶν, εἰ δέ ποτε εἰς τὴν ὀγδόην ἡμέραν ἢ τὴν ἑνδεκάτην ἢ τὴν δωδεκάτην ἢ τὴν ἑξακαιδεκάτην ἐμπέσει λύσις ἀθρόα νοσήματος, ὁμοιοῦταί πως τῇ κατὰ τὴν ἕκτην· σπανίως f. 169ʳ δὲ ἐν ταύτῃ λύεται | καὶ οὔτε πιστῶς, οὔτε ἀγαθῶς, οὔτε τελείως, ἀλλὰ καὶ ἀσαφῶς

καὶ ἀσήμως· μεταξὺ δὲ τῶν προειρημένων ἀγαθῶν καὶ τῶν μετὰ ταύτας κακῶν, ἡ τρισκαιδεκάτη μάλιστα κατεφάνη τετάχθαι, μήτε ὁμοίως ἀπόβλητος οὖσα ταῖς κακαῖς, μήτε ὁμοία ταῖς ἀγαθαῖς πέφυκε. Δεῖ δὲ παντὸς ἀγαθὴ γενέσθαι κρίσις, προδεδηλῶσθαι μάλιστα οὔροις ἤδη δὲ καὶ τοῖς λοιποῖς σημείοις. Εἰ μὲ οὖν τρίτῃ καὶ τετάρτῃ ἡμέρᾳ καὶ πέμπτῃ προδηλοῦται εὐθὺς ἐξ ἀρχῆς, εἰ δὲ τετάρτῃ πρόδηλος κεῖται τὴν ἑβδόμην, ἡ δὲ ἑβδόμη τὴν ἑνδεκάτην, ἡ δὲ ἑνδεκάτη τὴν τεσσαρακαιδεκάτην, ἡ δὲ τεσσαρακαιδεκάτη τὴν ἑπτακαιδεκάτην, ἡ δὲ ἑπτὰ καὶ δεκάτη τὴν εἰκοστήν. Ὅρος δὲ τῶν ὀξέων νοσημάτων ἡ τεσσαρεσκαιδεκάτη ἐστίν. Ὡς εἴ γε ταύτην ὑπερβαίνει τὸ νόσημα, ἐκπέπτωκε τῶν ὀξέων.

I should like to add, that in the «Handschriften der antiken Aerzte» the already mentioned codices of the Vienna and Vatican Libraries appear to be the only ones, which contain Romanos' work. My further study of the question, however, has revealed, that another 3rd codex found at the Ambrosian Library[1] contains the same work, which I intend to mention some other time, in order to round up the whole study concerning the work of Romanos.

---

MEDICAL MANUSCRIPTS.—The written tradition of the works of Leo the iatrosophist *, by ***Aristotle P. Kousis***.

As we know, Leo the physician, also known as Leo the wise, lived in the middle of the 9th century during the reign of emperor Theophilos. As Leo the physician was often taken for emperor Leo the wise, some of the former's codices have been attributed to the latter.

Leo left three works. The first was published under the heading «Προοίμιον ἤτοι σύνοψις τῆς Ἰατρικῆς» and was edited by Ermerins[1] from the codex Suppl. 446 of the Parisian library. From the other two, probably never published, the first «Σύνοψις εἰς τὴν φύσιν τοῦ ἀνθρώπου» found in Escorial library, is a simple compilation of the work of Meletios «Περὶ φύσεως ἀνθρώπου» and the second under the heading «Περὶ ἰδιωμάτων ἀνθρώπων» at the Library of Vatican[2]. Besides these manuscripts others have been found in the Baroccian library (Oxford) containing only chapters of the «Σύνοψις».

---

[1] *S. Martini-Bassi*, Catal. cod. graec. bibl. Ambros. p. 524. «Cod. 434 (H, 49).... 7 r: «Ρωμανοῦ Κουβουκλεισίου τῆς ἐν Θεῷ μεγάλης ἐκκλησίας καὶ πρωτομηνύτου τοῦ βασιλικοῦ ξενῶνος τοῦ Μυρελαίου ἢ τῆς Περιδόξου.— Inc. οὐ παραιτητέον.. Des.· ὡς εἴ γε τούτων ὑπερβαίνει τὸ νόσημα ἐκπέπτωκεν τῶν ὀξέων.—It is worth to add here the remark of it in the catalogue: «Libellus vel non totus descriptus vel quem alter praecesserat, teste initii c. I. supra descripto».

* ***Ἀρ. Π. Κούζη***, Ἡ γραπτὴ παράδοσις τῶν ἔργων Λέοντος τοῦ ἰατροσοφιστοῦ.

[1] Anecdota medica graeca, pag. 79-221.

[2] Unfortunately I could not find the treatise unter the elements (Barb. III, 63 = 245) given by the «Handschriften d. ant. Aerzte», t. II, p. 57.